Λεωφίλωι δὲ πάντα κεῖται, Λεώφιλον δ' †ἄκουε.

**116** Ath. 76b

ἔα Πάρον καὶ σῦκα κεῖνα καὶ θαλάσσιον βίον.

**117** Schol. Hom. *Il.* 24. 81 οἱ δὲ νεώτεροι κέρας τὴν συμπλοκὴν τῶν τριχῶν ὁμοίαν κέρατι.

τὸν κεροπλάστην ἄειδε Γλαῦκον.

'Αρχίλοχος.

Cf. schol. *Il.* 11. 385; Eust. pp. 851. 41 sqq., 1340. 30 sqq.; Poll. 2. 31, 7. 165; Plut. *sollert. anim.* 24 p. 976f; Hesych. κεροπλάστης.

**118** Plut. *de E* 5 p. 386d

εἰ γὰρ ὣς ἐμοὶ γένοιτο χειρὶ Νεοβούλης θιγεῖν.

**119** Schol. Eur. *Med.* 679

καὶ πεσεῖν δρήστην ἐπ' ἀσκόν, κἀπὶ γαστρὶ γαστέρα
προσβαλεῖν μηρούς τε μηροῖς.

**120** Ath. 628a

ὡς Διωνύσου ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον οἴνωι συγκεραυνωθεὶς φρένας.

**121** Ath. 180d

αὐτὸς ἐξάρχων πρὸς αὐλὸν Λέσβιον παιήονα.